τὸ πλῆρες. Εἰ μὲν κατέδυσάν τινα, εὖ ἂν εἶχεν, εἰ δὲ μὴ κατέδυσαν, ἀνεκρούοντο. Μεταθέσεως δέ· οἷον. Κινεῖται, εἰ περιπατεῖ· καὶ τὰ λοιπὰ κατὰ τὸ Πρωθύστερον, καὶ Ἀντεστραμμένον σχῆμα, τό τε Ὑπερβατὸν, καὶ Ὑπερβιβασμόν.

Ἡ δὲ Μετάληψις καὶ ὁ Πλεονασμὸς ἐπ' ἔλαττον εἰς χρῆσιν ἥκουσι· πλὴν μέν τοι καὶ ταῦτα, ὥσπερ καὶ τ' ἄλλα γραμματικὰ σχήματα πολύ τι συμβάλλουσιν εἰς Ἑλληνισμὸν λόγου, ὅταν ἡ χρῆσις αὐτῶν ἐν δέοντι γένηται.

Σημείωσαι δὲ ἐν τῇ Ἐλλείψει, ἔνθα ἀπὸ κοινοῦ γίνεται, σαφέστερον καὶ εὐχρηστότερον ἐν τῷ πρώτῳ λόγῳ τιθέναι τὸ ἐν τοῖς λοιποῖς ἐλλεῖπον· οἷον. Κόσμος ἀνθρώπῳ ἐστὶ φρόνησις, δικαιοσύνη, ἀνδρεία· καί τοι καὶ τἀνάπαλιν ἔστι χρῆσθαι· οἷον. Πάντες δὲ, ὥσπερ ἐκ μιᾶς ψυχῆς, οἱ μὲν πατέρα χρηστὸν, οἱ δ' ἀγαθὸν βασιλέα, γενναῖον δ' ἕτεροι στρατηγὸν, οἱ δὲ σώφρονα καὶ κόσμιον ἄρχοντα ἀπεκάλουν.

## Ε΄. Τίνα δεῖ φυλάττειν ἐν τῇ Συνθέσει τοῦ Λόγου.

Τρία δὲ ταῦτα φυλάττειν δεῖ συντιθέντας καθ' Ἕλληνας· τὴν Κυριολεξίαν, τὰ Ἰδιώματα, καὶ τὸν Ἑλληνισμὸν τοῦ λόγου.

### Κυριολεξία.

Ἡ Κυριολεξία φυλάττεται, ἐὰν μὴ ἡ λέξις ὁμώνυμος ᾖ· πολλὰ δηλονότι σημαίνουσα, ἀλλ' ἐὰν ἓν καὶ κύριον ἔχει σημαινόμενον· μήτε τροπικὴ, εἴτ' οὖν μεταφορικὴ, ἄλλο σημαίνουσα καὶ εἰς ἄλλο μεταλαμβανομένη, ἀλλ' αὐτὸ καθ' ἑαυτὸ τοῦτο δηλοῦσα, ὅπερ παραστῆσαι βούλεται.

Ἔστι δ' ὅτε καὶ ὁμωνύμοις λέξεσι χρηστέον, ὅπη κυρία μὴ ᾖ, καὶ τροπικαῖς κατὰ τὴν χρείαν· προσεκτέον μέν τοι τὴν ἀκρίβειαν τῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. ΙΩΑΝΝΙΝΑ 2006

ὁμωνυμίας τηρεῖν, καὶ τὴν ἀναλογίαν τῆς μεταφορᾶς· οἷον. τῷ, Λόγος, χρηστέον μὲν κα'πὶ τοῦ προφορικοῦ λόγου, καὶ ἐνδιαθέτου, καὶ ἀναλογίας, καὶ φροντίδος, καὶ ἀπολογισμοῦ, καὶ ἀπολογίας, καὶ ἄλλων, ἃ ὁμωνύμως σημαίνει, καίπερ ἀπὸ τοῦ Λέγω γιγνόμενον, τὸν προφορικὸν μόνον δηλοῖ λόγον, κυριολεκτούμενον· τὸ, Ἐξηράνθη, καί τοι ἐπὶ τῶν φυτῶν κυριολεκτούμενον, ὅμως λαμβάνεται καὶ ἐπὶ πηγῶν μεταφορικῶς.

## Ἰδιώματα.

Πενταχῶς θεωρεῖται τὰ ἰδιώματα. ἐν Λέξει, ἐν Συντάξει, ἢ λόγῳ, ἐν Μορίοις, ἐν Φράσει, καὶ ἐν Σχήμασι.

Λέξεων μὲν δὴ ἰδιώματα φυλάττομεν, ὅταν τὴν ἀκρίβειαν τηρῶμεν ἑκάστης Ἑλληνικῆς λέξεως, κυριολεκτοῦντες· παρατηροῦντες ἔν τισιν ὡς δυσχερῶς ἔχουσι μεταποιηθῆναι εἰς ἣν προϊέμεθα κοινὴν διάλεκτον· οἷον· εἴτις, Πέμπω εἰς σὲ ἐλθεῖν ὡς ἐμὲ, εἴποι· καὶ μὴ, Μεταπέμπομαί σε, οὐ κυριολεκτεῖ, οὐ δὲ καθ' Ἕλληνας λέγει, ἀλλὰ κατὰ τὸ ἰδίωμα τῆς ἡμετέρας διαλέκτου· ὁμοίως καὶ τὸ, Μετελεύσομαι καὶ ἄλλους, εἴ τις, πορεύομαι ἀγαγεῖν καὶ ἄλλους, εἴποι· οὐ κυριολεκτεῖ.

Τοῦ δ' Ἑλληνικοῦ λόγου Ἰδιώματα φυλάττομεν, ὅταν κατὰ τοὺς κανόνας τῆς Συντάξεως πάσας τὰς ἡμετέρας ἐκφράζομεν ἐννοίας, μηδεμίαν ἰδίαν ἢ σύνταξιν ἢ φράσιν ποιοῦντες.

Τῶν δὲ μορίων Ἰδιώματα φυλάττομεν, ὅταν τοῖς μορίοις χρώμεθα κατὰ τὸ εἰκὸς ἔν τε συντάξει, καὶ σημασίᾳ, ὡς ἐν ἐκείνοις εἴρηται.

Τῶν δὲ φράσεων, ἃς καὶ Ἰδιοσύντακτα τινὲς ἐκάλεσαν, Ἰδιώματα φυλάττομεν, ὅταν ἐξετάζωμεν ἀκριβῶς τινὰς φράσεις τῆς Ἑλληνικῆς φωνῆς ἰδίας, καθ' ἃς δηλονότι, οὐ πᾶσα φωνὴ τὰς αὐτὰς ἐκφράζει ἐννοίας, καὶ ταύτας ἐξακριβῶμεν· τοιαῦται δ' εἰσὶν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΟΣ
Ε.Υ.Δ. Τ.Π.Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

αἱ, Πολλοῦ γε καὶ δεῖ· Οὐδ' ἐγγύς· Ληρεῖς ἔχων· Παίζεις ἔχων. Προπίνω σοι· Ἔφθην ποιήσας· Οὐκ ἂν φθάνοις διηγούμενος· Ὤχετ' ἀπιών· Ἄγειν καὶ φέρειν· Συλλαβὼν ἔχει· Ἔχων ἦλθε· Ἔκδοτον πεποίηκε Φίλιππον· Θαλάσσιόν με ἐκρίψατε· Ἐπιλήψει με ἡ ἡμέρα διηγούμενον· Ἐπιλέλειπέ με ὁ Δημοσθένης· Ταύτῃ φέρων ὑπέθηκεν ἑαυτόν· Εἰς τοῦτο φέρων περιέστησε τὰ πράγματα· Ἕβδομον ἡμιτάλαντον (Σημαίνει δὲ τοῦτο ἓξ τάλαντα καὶ τὸ ἕβδομον ἥμισυ· ἤτοι ἓξ καὶ ἥμισυ· ἔνθα φανερὸν, ὅτι διαφέρει τὸ ἑνικὸν τοῦ πληθυντικοῦ· τὸ διὰ τῶν τακτικῶν τοῦ διὰ τῶν ἀριθμητικῶν ἐκφράζεσθαι· τὸ γὰρ ἑπτὰ ἡμιτάλαντα δηλοῖ, τρία τάλαντα καὶ ἥμισυ· τὸ δὲ ἕβδομον ἡμιτάλαντον, ἓξ καὶ ἥμισυ.). Πέμπτος αὐτὸς (Σημαίνει δὲ πρῶτος αὐτὸς, ἔχων σὺν αὐτῷ καὶ τέσσαρας ἄλλους.)· Τρεῖς καὶ τριάκοντα ἐπὶ ἑκατόν· Τριταῖος πάρειμι· Ἔστι μοι βουλομένῳ· Εἰ πρὸς θυμοῦ εἴη αὐτῷ. Καὶ τὰ διαλογικά· Χαῖρε, νὴ καὶ σύγε, ἢ καὶ σύγε· Ὑγίαινε· Τύχῃ ἀγαθῇ· Εὐπλοήσωμεν· Εὖ πάθωμεν· Ἀλλὰ μεταξὺ λόγων τίς ἡ βοὴ αὕτη; Οὐ γὰρ ἐν ἀνάγκῃ ἡ πεῖρα μοι γεγένηται· καὶ ἄλλα οὐκ εὐάριθμα.

Τῶν δὲ σχημάτων ἰδιώματα φυλάττομεν, ὅταν, ὡς οἷόν τε, κατὰ τὸ εἰκὸς τοῖς σχήμασιν ἐν τῷ λόγῳ χρώμεθα.

## Ἑλληνισμός.

α'. Ὅταν ἔχωσι τὸ εὖ οἱ σύνδεσμοι· ἀποδιδόμενοι ὡς πεφύκασι πρότεροι καὶ ὕστεροι γίγνεσθαι ἀλλήλων· οἷον ἔνιοι ἀπαιτοῦσιν, ὥσπερ ὁ Μὲν ἀπαιτεῖ τὸν Δέ.

β'. Ὅταν τοῖς ἰδίοις ὀνόμασι λέγηται ἕκαστον, καὶ μὴ τοῖς περιέχουσι καὶ γενικωτέροις· οἷον· Ἀντὶ τοῦ βλέπω λέγειν τὸ Αἰσθάνομαι.

γ'. Ὅταν μὴ ἀμφιβόλως γράφῃ τις ἢ φθέγγηται· ὥσπερ τὸ, Κροῖ-

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΨΗΦΙΟΠΟΙΗΣΗ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Επ. Δ της Κ.Ε.Π.Ι ΙΩΑΝΝΙΝΑ 2006

σος Ἅλυν διαβὰς, μεγάλην ἀρχὴν καταλύσει. Ἄδηλον γὰρ τὴν ἑαυτοῦ, ἢ τὴν τοῦ ἐναντίου Κύρου.

δ΄. Ὅταν ἀποδιδῶται ὀρθῶς τὰ γένη τῶν ὀνομάτων, κατὰ τὸ ἄῤῥεν, καὶ θῆλυ, καὶ οὐδέτερον· οἷον· ἡ δ' ἐλθοῦσα καὶ διαλεχθεῖσα, ᾤχετο.

ε΄ Ὅταν οἱ ἀριθμοὶ συμφωνῶσιν ἐν τῷ λόγῳ· οἷον· Οἱ δ' ἐλθόντες ἔτυπτόν με.

ϛ΄. Ὅταν εὐανάγνωστον ᾖ τὸ γεγραμμένον, καὶ εὔφραστον· συμβαίνει δὲ μὴ τοιοῦτον εἶναι, ὅταν μὴ ὦσι σύνδεσμοι, καὶ ῥᾴδιον μὴ ᾖ διαστίξαι· ὡς τὸ τοῦ Ἡρακλείτου· οἷον· Τοῦ λόγου τοῦ δ' ἐόντος ἀεὶ ἀξύνετοι ἄνθρωποι γίνονται· ἄδηλον γὰρ τὸ Ἀεὶ πρὸς ὁποτέρῳ διαστίξαι δεῖ.

ζ΄. Ὅταν ἀποδιδῶται ἕκαστον κατὰ τὸ δέον· τὸ γὰρ μὴ ἐπιζευγνύειν ἑκάστοις, ὃ ἁρμόζει, λύει τὸν Ἑλληνισμόν· ὡς ὅταν εἴπῃ τις· Ψόφον καὶ χρῶμα εἶδον· τὸ γὰρ Εἶδον οὐκ ἔστι κοινὸν καὶ ἐπὶ ἀκοῆς· ὅθεν· Ψόφου καὶ χρώματος ᾐσθόμην, ἔδει εἰπεῖν· τὸ γὰρ αἰσθάνομαι κοινὸν ἐπὶ πασῶν τῶν αἰσθήσεων.

## ϛ΄. Περὶ Μιμήσεως.

Ἵνα δὲ ἡ σύνθεσις τοῦ λόγου εὖ καὶ κατὰ τὸ εἰκὸς γένηται, μιμεῖσθαι δεῖ τοὺς ἐνδοξοτέρους τῶν ἐν Ἕλλησι λογίων, ἐκ τούτων γὰρ ἡμῖν ἐγγενήσεται τὸ Ἑλληνίζειν. Γίνεται δὲ ἡ μίμησις τούτων, ὅταν ἀναγινώσκοντες τὰ συγγράμματα αὐτῶν, τὰς φράσεις, καὶ ἰδιώματα, ὡς οὗτοι κέχρηνται, εἰς τὰς ἰδίας ἡμῶν αὐτῶν ἐννοίας μεταφέρωμεν· οἷον· Βουλόμενος τῇ Ἑλλάδι χρήσασθαι φωνῇ ἐπὶ τὸ, Πέμπω πρός σε ἐλθεῖν πρός με, ἐρευνῶν τοὺς ἐνδόξους τῶν λογίων, εὑρίσκω λέγοντας, Μεταπέμπομαί σε· οὕτω κἀγὼ τὴν τοιαύτην ἐκφράζω ἔννοιαν· καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΡΟΥ ΝΕΟΕΛΛΗΝΙΚΗΣ
Ε.Υ. ... ΙΩΑΝΝΙΝΑ 2008

## Ζ΄. Περὶ Παραφράσεως.

Ἵνα δὲ ἐθίσωμεν ἡμᾶς αὐτοὺς εἰς τὸ Ἑλληνίζειν, παραφράζειν δεῖ τὰ τῶν Ἑλλήνων συγγράμματα· οὕτω γὰρ ποικίλουσι πολλαχῶς τὰ λεγόμενα, ἐγγενήσεται ἡμῖν ἕξις τοιαύτη τοῦ Ἑλληνίζειν, ὥςε κατὰ φύσιν καταντᾷν, εἴτι ἂν καὶ λέγειν προθυμοίμεθα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΟΤΟΚΗΣ

Κείσθωσαν δὲ Παραφράσεως κανόνες οἵδε.

α΄. Τὸ τῆς Μεταθέσεως εἰς τὸ φυσικὸν, καὶ τὸ Φυσικὸν εἰς τὸ τῆς μεταθέσεως σχῆμα μεταποιεῖν· οἷον· τὸ, Ἡρόδοτος ὁ Ἁλικαρνασσεὺς περὶ Ὁμήρου γενέσεως, καὶ βιωτῆς τάδε ἱστόρηκεν· εἰς τὸ, Ἡρόδοτος ὁ Ἁλικαρνασσεὺς ἱστόρηκε τάδε περὶ γενέσεως καὶ βιωτῆς Ὁμήρου· καὶ τὸ Θουκυδίδης Ἀθηναῖος ξυνέγραψε τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων· εἰς τὸ, Θουκυδίδης ὁ Ἀθηναῖος τῶν Πελοποννησίων καὶ Ἀθηναίων τὸν πόλεμον συνέγραψε.

β΄. Τὸ τῆς Ἐλλείψεως εἰς τὸ πλῆρες καὶ τὸ πλῆρες εἰς τὸ τῆς Ἐλλείψεως· οἷον· τὸ, εἰ μὲν κατέδυσάν τινα, εἰδὲ μὴ, ἀνεκρούοντο· εἰς τὸ, εἰ μὲν κατέδυσάν τινα, εὖ ἂν εἶχεν, εἰδὲ μὴ κατέδυσαν, ἀνεκρούοντο· καὶ ἀνάπαλιν.

γ΄. Τὸ κατὰ Μετάληψιν εἰς τὸ κύριον, καὶ τὸ κύριον εἰς τὸ κατὰ μετάληψιν· οἷον τὸ, Χρηματίσαιτο ἀφεὶς, εἰς τὸ ἀφῆκε χρηματισάμενος· καὶ ἀνάπαλιν.

δ΄. Τὴν φράσιν εἰς περίφρασιν, καὶ τὴν περίφρασιν εἰς φράσιν· οἷον τὸ, βίη Ἡρακλέους, εἰς τὸ Ἡρακλῆς· καὶ τὸ θάνατον· εἰς τὸ ὁδὸν εἱμαρμένην

ε. Τὴν ὀνοματικὴν φράσιν εἰς ῥηματικὴν, καὶ τὴν ῥηματικὴν εἰς ὀνοματικήν· οἷον τὸ, οὕτως ὠφελεῖ ὁ θυμὸς, εἰς τὸ, τοσοῦτον τὸ ἀπὸ τοῦ θυμοῦ ὠφέλιμον· καὶ τὸ, οὐ βάσιμά σοι τὰ πελάγη· εἰς τὸ, οὐ περιπατεῖς τὰ πελάγη.

Ε.Υ.Δ τηςΚ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ϛ΄. Τὸ ἀναλελυμένον εἰς τὸ συνεπτυγμένον, καὶ τὸ συνεπτυγμένον, εἰς τὸ ἀναλελυμένον· οἷον τὸ, ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, εἰς τὸ, ἐλθόντος τοῦ πληρώματος τοῦ χρόνου· καὶ τὸ, ἀκολουθήσας σοι ἐπιδώσω· εἰς τὸ, ἐὰν ἀκολουθήσω σοι ἐπιδώσω.

ζ΄. Τὴν προσωπικὴν φράσιν εἰς ἀπρόσωπον, καὶ τὴν ἀπρόσωπον εἰς προσωπικήν· οἷον τὸ Πρόσχες· εἰς τὸ, δεῖ προσέχειν· καὶ τὸ, δεῖ πέμψαι, εἰς τὸ, πέμψον.

η΄. Τὰ κατὰ διάλογον εἰς τὰ κατὰ διήγησιν, καὶ τὰ κατὰ διήγησιν εἰς τὰ κατὰ διάλογον· οἷον τὸ, καὶ ὁ Σωκράτης γράψας, ὥσπερ εἶπεν, οὐκοῦν, ἔφη, ἔστιν ἐν ἀνθρώποις ψεύδεσθαι; ἔστιν, ἔφη· εἰς τὸ, λέγεται τὸν Σωκράτην γράψαντα, ὥσπερ εἶπεν, φᾶναι· οὐκοῦν ἔστιν ἐν ἀνθρώποις ψεύδεσθαι· καὶ τὸν Εὐθύδημον εἰπεῖν· ἔστι μέντοι· καὶ τὸ, τὸν δὲ Κῦρον, ἔφασαν λέγειν, εἰς τὸ, ὁ δὲ Κῦρος ἔφη· ὦ πάππε, καὶ τλ.

θ΄. Τὴν ἐνεργητικὴν σύνταξιν εἰς παθητικήν, καὶ τὴν παθητικὴν εἰς ἐνεργητικήν· οἷον τὸ, τύπτω τὸν παῖδα· εἰς τὸ, τύπτεται ὑπ' ἐμοῦ ὁ παῖς· καὶ τὸ, τέμνεταί μοι ὁ λίθος· εἰς τὸ, τέμνω τὸν λίθον.

ι. Τὸ ὀρθὸν εἰς τὸ πλάγιον σχῆμα, καὶ τὸ πλάγιον εἰς τὸ ὀρθόν· οἷον τὸ, Σωκράτης ὁ παρὰ πάντων ἐπαινούμενος, ἐδίδασκεν· εἰς τὸ, Σωκράτης, ὃν πάντες διὰ γλώττης εἶχον, ἐδίδασκε· καὶ ἀνάπαλιν.

ια΄. Τὸ ἀφῃρημένον εἰς τὸ συγκεκριμένον, καὶ τὸ συγκεκριμένον εἰς τὸ ἀφῃρημένον· οἷον τὸ, ἡ διαδοχὴ τῇ πρόσθεν φυλακῇ ἔρχεται ἐκ πόλεως· εἰς τὸ, οἱ διάδοχοι τῶν πρόσθεν φυλάκων ἔρχονται ἀπὸ τῆς πόλεως· καὶ ἀνάπαλιν.

ιβ΄. Τὸ ἀσαφὲς σαφῶς ἐκφράζειν πειρᾶσθαι, ἤτοι διὰ μακροτέρων τὸ δι' ὀλίγων, ἢ δι' ὀλίγων τὸ διὰ μακροτέρων· ὅπως ἡ χρεία ἀπαιτεῖ, πρὸς τὴν τοῦ κειμένου σαφήνειαν· ἔστι γὰρ ἐπὶ τὸ σα-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΤΣΗΣ
Ε.Υ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

φέστερον φράζειν βουλομένοις, ἐπεντιθέναι ἢ σύνδεσμον, ἢ πρόθεσιν, ἢ ἐπίῤῥημα, ἢ ὡς ἂν ἄλλως εὖ ἔχει Ἑλληνισμοῦ· οἷον τὸ, Δίδωμί σοι χρυσίον τῆς χρείας χειρὶ τῇ ἐμαυτοῦ, πρίασθαι ὧν ἂν δέῃ· εἰς τὸ, δίδωμί σοι χρυσίον τῆς παρούσης ἕνεκα χρείας χειρὶ τῇ ἐμαυτοῦ, ὅπως πριάμενος, ὧν ἂν δέῃ, ἔχῃς, ἢ ὥστε πρίασθαι, ὧν ἂν δέῃ, ἢ ἐφ' ᾧ πρίασθαι, ὧν ἂν δέῃ.

Ὅθεν τὰς ἐκ τετάρτου κοινὰς συντάξεις ἐπὶ τὸ σαφέστερον ποικίλως ἔξεστιν ἐκφράζειν· καὶ γὰρ ἕκαστα καὶ διὰ μετοχῆς ἔνι ἐκφράζειν, καὶ δι' ἀπαρεμφάτου, καὶ διὰ προθέσεως, καὶ διὰ συνδέσμου· οἷον. Ὠφελῶ ἀνθρώπους τῷ λόγῳ· ἀλλὰ καὶ ὠφελῶ λέγων, καὶ τῷ λέγειν· καὶ Διὰ λόγου· καὶ Διότι, ἢ Ἐπειδὴ λέγω.

Κἀντεῦθεν ἕπεται ἡ τῆς συντάξεως ποικιλία, τὸ πολλαχῶς δηλονότι τὴν αὐτὴν ἐκφράζειν ἔννοιαν, τοῦ Ἑλληνικοῦ ἰδιώματος μὴ ἐκκλίνοντας· οἷον. Ἐπαινῶ Σωκράτην, οὗ σπουδαίου γεγονότος, πλεῖστοι ὤναντο τὰ εἰς ἀρετήν· ἢ Οὗ ἄριστα τὸν βίον διάγοντος· ἢ Ἐπαινῶ Σωκράτην, ὃν, ἀρετῆς ἐν αὐτῷ οὔσης τελείας, πολλοὶ μιμησάμενοι, ἐπέδωκαν περὶ τὰ καλά. Ὁμοίως καί. Σωκράτης, ὃς πολλὰ πεποίηκεν ἀγαθὰ, ὁ πολλὰ πεποιηκὼς ἀγαθά· οὗ λόγος ἐπ' ἀρετῇ πολὺς· ὁ πολὺν ἐπ' ἀρετῇ λόγον ἔχων, καὶ τό· Σωκράτης, ᾧ Πλάτων διδασκάλῳ ἐχρήσατο· ὁ διδάξας Πλάτωνα· ὁ καθηγησάμενος Πλάτωνος. καὶ μυρία τοιαῦτα.

## Μῦθος παρ' Ἀριστοτέλει Ῥητορ. Β'. κ'. 5.

Ἵππος κατεῖχε λειμῶνα μόνος, ἐλθόντος δ' ἐλάφου, καὶ διαφθείροντος τὴν νομὴν, βουλόμενος τιμωρήσασθαι τὴν ἔλαφον, ἠρώτα τιν' ἄνθρωπον, εἰ δύναιτο μετ' αὐτοῦ, κολάσαι τὴν ἔλαφον. Ὁ δ' ἔφησεν, ἐὰν λάβῃ χαλινὸν, καὶ αὐτὸς ἀναβῇ ἐπ' αὐτὸν, ἔχων ἀκόντια. Συνομολογήσαντος δὲ, καὶ ἀναβάντος, ἀντὶ τοῦ τιμωρήσασθαι, αὐτὸς ἐδούλευσεν ἤδη τῷ ἀνθρώπῳ.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΗΤΙΚΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ τ.τ. Κ.τ.λ. ΙΩΑΝΝΙΝΑ 2006

## Παράφρασις κατὰ κανόνας.

Ἵππος μόνος κατέχων λειμῶνα, ἐπειδὴ ἔλαφος ἐλθὼν, διέφθειρεν αὐτοῦ τὴν νομὴν, τιμωρήσασθαι αὐτὸν ἔγνω. Καὶ δὴ εὑρὼν τὸν ἄνθρωπον, ἠρώτα, εἰ δύναιτο τῇ αὐτοῦ βοηθείᾳ τὸν ἐχθρὸν τιμωρήσασθαι· Ὁ δὲ, ἐὰν θελήσῃς, φησὶ, δέξασθαι χαλινὸν ἐν τῷ στόματι, καὶ ἐμὲ ἐπὶ νώτου, ἔχοντα ἀκόντια, εὐμαρὴς ἔσται ἡ κόλασις· Συνωμολόγησεν ὁ ἵππος τῷ ἀνθρώπῳ, ὁ δὲ, ἐπιβὰς αὐτοῦ, ἀντὶ τοῦ τιμωρήσασθαι τὸν ἐχθρὸν τῷ ἵππῳ, αὐτὸν δουλεύειν ἤδη ἑαυτῷ ἠνάγκασεν.

## Ἄλλως κατ' αὔξησιν. Νικηφόρου τοῦ Βασιλάκη.

Ἦν ὅτε καὶ ἵππος ἀχείρωτος ἦν, καὶ πρὶν ἢ τοῖς ἀνθρώποις εἰς χεῖρας ἐλθεῖν, κατὰ λειμῶνος ἐκρόαινε, καὶ τρυφὴν ἐποιεῖτο τὸ ἐλευθέριον. Καλὸν μὲν ἦν αὐτῷ τὸ ἄνετον, οὐ σμικρὸν δ' εἰς εὐμοιρίαν καὶ τὸ χαλινοῦ διάγειν ἔξω καὶ μύωπος. Ἀλλ' ἦν ἄρα καὶ τοῦτο τῆς τύχης οὐδὲν ἧττον τὸ φιλοτίμημα. Ἄλσος ἀνθηρὸν ἐπὶ πεδιάδος ἐφηπλωμένον· καὶ χλόη τις εἴς τε ποδῶν ἀγωνίαν, καὶ τάχους φιλοτιμίαν οὐκ ἄχαρις, καὶ πρὸς τροφὴν οὐκ ἀνέραστος κατέῤῥει τὸ ἄλσος· καὶ πηγή τις, ὡς μὲν ὀφθῆναι καλὴ, ὡς δὲ ἡδεῖα πιεῖν· ἡ δὲ τὸ χλοάζειν ἐχορήγει τοῖς ἄνθεσι· καὶ τῷ ἵππῳ τὴν κόμην ἐκάθαιρεν. Ἐπὶ τούτοις ὢν τοῖς καλοῖς ὁ ἵππος ἔχαιρεν· οὐδὲ γὰρ ἐνέδει τῶν, ὁπόσα καὶ τρυφὴν ἵπποι νομίζονται. Ἀλλ' εἶδε ταῦτα ἔλαφος, καὶ τοῖς τοῦ ἵππου καλοῖς ὀφθαλμὸν ἐπέβαλε βάσκανον, καὶ ξένοις ἀγαθοῖς ἐφυβρίζειν οὐκ ἐπαισχύνετο· Τί μὲν τῆς λόγχμης τοῖς κέρασιν οὐκ ἀνώρυττε; τί δὲ τῶν ἀνθέων τοῖς ποσὶν, οὐ κατέβαλλε; τί δὲ μὴ ξυνεθόλου τῆς πηγῆς, ὡς ἐφ' ὕβρει καὶ φθόνῳ τῶν ἵππῳ καλῶν ἀφειδῶς ἐπιτρέχουσα; Ἐντεῦθεν ἀλγεῖ μὲν ὁ ἵππος, καὶ περισκοπεῖται τὴν ἄμυναν· ἀλλ' οὐκ εἶχεν ὅ,τι καὶ χρήσαιτο. Ὡς οὖν ἐπέγνω κρεῖττον

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Δ.Α της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τῆς αὐτοῦ σοφίας τὸ κακὸν, ὁρᾷ τινὰ παριόντα τὸ ἄλσος, διηγεῖται τῆς ἐλάφου τὸ βάσκανον, καὶ ὅπως ἀμυνεῖται πυνθάνεται. Ὁ δὲ, ἄνθρωπος γὰρ ἦν, ἀπάτῃ καὶ δόλῳ τὸν ἵππον μέτεισι, καὶ τὸν χαλινὸν ἐπιδείξας. Εἴγε, φησὶν, ὦ ἵππε, τοῦτον μὲν ἐπὶ τοῦ στόματος, ἐμὲ δὲ ἐπὶ νώτου φέρειν ἀνέξῃ μικρὸν, ἐγώ σοι δι' ὀλίγου τὴν ἔχθραν ἀμυνοῦμαι. Ἤκουσεν ὁ ἵππος ταῦτα, καὶ πείθεται· καὶ τὸ ἐντεῦθεν ἡ μὲν ἔλαφος ἐπηλαύνετο τοῦ ἄλσους, ὁ δὲ ἵππος ἐπὶ φάτνης εἱστήκει, μετὰ χλόης καὶ τῆς πηγῆς προσαφαιρεθεὶς καὶ τὸ ἄνετον. Φυλακτέον ἄρα καὶ τὸ ἐλευθέριον, καὶ παῤῥησίαν οὐ προδοτέον φρονήματος, εἴγε μὴ μέλλοι τὶς δουλεύειν οὐδὲν ἧττον, ἤπερ ἵππος χαλιναγωγούμενος.

## Περὶ τῶν Περιστατικῶν.

Ἵνα δὲ αἵ τε Παραφράσεις εὐχερέστερον γίνονται, καὶ εἴτι καὶ ἴδιον ἐπεξεργάσασθαί τις ἐθέλοι ἐλευθέρως, τὸ δουλικῶς παραφράζειν τὰς τῶν ἄλλων ἐννοίας ἀφεὶς, κατὰ λόγον συντάττηται, ἀνακτέον πάντα τὰ λεγόμενα εἰς τὰς ἕξ ἐκείνας Περιστάσεις. Τίς; Πρόσωπον. Τί; Πρᾶγμα. Διὰ τί; Αἴτιον. Ποῦ; Τόπος. Πού; Χρόνος. Πῶς; Τρόπος. πᾶν γὰρ νόημα ἐπὶ ταῦτα ἀνάγεται· καὶ οὕτως ἕκαστον τούτων ἐξεταστέον ὁσαχῶς ἐν τῷ λόγῳ λαμβάνεται· οὕτω γὰρ καὶ ποικιλαχῶς ἐκφράζειν τὰ λεγόμενα ἕξομεν, καὶ κατὰ λόγον ἕκαστα.

Τίς. Τὸ μὲν οὖν Τίς, εἴτ' οὖν τὸ Πρόσωπον κατ' ὀνομαστικὴν μὲν λεγόμενον τὴν ἐκ πρώτου, κατὰ πλαγίαν δὲ τὴν ἐκ τρίτου χώραν ἔχει· οἷον. Σωκράτης ἐδίδαξε Πλάτωνα. Τοῦτ' αὐτὸ δε θεωρητέον καὶ ἐν τοῖς πράγμασιν, ὅσα προσωποποιούμενά πως λαμβάνηται, καὶ τὴν ἐκ πρώτου καὶ ἐκ τρίτου χώραν ἐπέχει· οἷον. Οἶδε κόρος ἀγρυπνεῖν. Φωτίζει ὁ ἥλιος τὴν περίγειον λῆξιν. Μὴ καὶ παρέλκον ᾖ.

Ε.Υ.Δ της Π.Π. ΙΩΑΝΝΙΝΑ 2006

Τί. Τὸ δὲ Τὶ, εἴτ' οὖν τὸ πρᾶγμα, ἐπάγεται πολλαχῶς· Ἤτοι γὰρ κατ' αἰτιατικὴν, καὶ τοῦτο διχῶς. Διαβατικῶς μέν· οἷον· Διδάσκω σε γραμματικά· Ἐπιβατικῶς δέ· οἷον· Διδάσκω τὰ μηχανικά. Ἢ κατὰ γενικὴν, διχῶς· Διαβατικῶς μέν· οἷον· Ὑπέμνησά σε νόσου. Ἐπιβατικῶς δέ· οἷον· Ἤκουσα τῶν λόγων. Ἢ κατὰ δοτικὴν ὡσαύτως. Διαβατικῶς μέν· οἷον· Δικασταὶ ἐζημίωσαν τὸν Αἰσχίνην χρήμασιν. Ἐπιβατικῶς δέ· οἷον· Οἱ νόμοι ζημιοῦσι χρήμασιν. Ἢ κατ' ἀπαρέμφατον ὁμοίως· Διαβατικῶς μέν· Διδάσκω σε διαλέγεσθαι. Ἐπιβατικῶς δέ· οἷον· Διδάσκω διαλέγεσθαι. Καὶ κατ' ἀνάλυσιν· οἷον· Διδάσκω σε, ἢ διδάσκω ἵνα διαλέγῃ. ἢ κατὰ προσθήκην προθέσεων· οἷον· Διδάσκω σε, ἢ διδάσκω εἰς τὸ, κατὰ τὸ, ἐπὶ τῷ διαλέγεσθαι, ἢ ἐφ' ᾧ διαλέγεσθαι, ἢ ὥστε διαλέγεσθαι. καὶ διὰ μετοχῆς ἐπ' ἐνίων· οἷον· Οἶδα ποιήσας. Εἶδόν σε τρέχοντα· ἢ προθετοπτώτως· οἷον· Ἐμνήσθην περὶ τοῦ δανείου. Διδάσκω περὶ προθέσεως. Ἢ ὁμοιοπτώτως τῷ ἐκ πρώτου ἐν ὑπαρκτικῇ συντάξει, κἀπὶ τῶν κλητικῶν καὶ τῶν παθητικῶν· οἷον· Γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον. Λογγῖνος ἐκαλεῖτο ἔμψυχος βιβλιοθήκη· ἢ τῷ ἐκ τρίτου· Τὶ καλέσω σε; Καλῶ σε Σωκράτην, σοφὸν, σειρῆναι τελχῖνα, κτῆνος, λίθον, ξύλον. Ἢ κατὰ λόγον τέλειον, τῶν ὀρθολεκτικῶν τινος προσλαμβανομένου· οἷον· Σκεψώμεθα, τί τις ἂν ἔχοι εἰπεῖν· καὶ, εἰ ἀληθῆ ταῦτα· καὶ, ὅπως ἂν ὁ λόγος εὖ ἔχοι Ἑλληνισμοῦ.

Διὰ τί. Τὸ δὲ Διὰ τὶ, φημὶ δὴ τὸ αἴτιον, καὶ αὐτὸ πολλαχῶς ἂν ποικιλόμενον ἐκφέροιτο· Ἓξ γὰρ ὄντων τῶν αἰτίων· Ποιητικοῦ, Ὑλικοῦ, Ὀργανικοῦ, Παραδειγματικοῦ, Εἰδικοῦ, καὶ Τελικοῦ.

Τὸ μὲν Ποιητικόν· ἐπὶ μὲν τῶν ἐνεργητικῶν κατ' ὀνομαστικὴν λέγεται ἐκ πρώτου· ἐπὶ δὲ τῶν παθητικῶν, ἤτοι προθετοπτώτως ἐκ τρίτου ἐξενεχθήσεται· οἷον· Φαῖδρος φιλεῖται ὑπὸ Σωκράτους· ἢ δοτικῇ· Τέμνεταί μοι ὁ λίθος. Πλησίον δὲ τούτου καὶ τὸ Παι-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΑΘΕΣΗ: Π. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δήμας Π. ΙΩΑΝΝΙΝΑ 2006

θεία τύχῃ μὲν ἀνάλωτος, συκοφαντίᾳ δὲ ἀναφαίρετος, νόσῳ δὲ ἀδιάφθορος, γήρᾳ δὲ ἀλύμαντος. Ἤ ἐλλειπτικῶς· οἷον· φθόνῳ οὐκ ἐπαινεῖ. Καλοκαγαθίᾳ εὐεργετεῖ. Ἀλγεῖ, ἢ δυσανασχετεῖ τοῖς ἡμαρτημένοις· εὐφραίνεται, χαίρει τοῖς κατορθωμένοις· ὃ καὶ πλῆρες πολλάκις λέγεται· οἷον· Χαίρω, ἢ ἀλγῶ ἐπὶ σοί. Καὶ γενικῇ· ἐπαινῶ σε τῆς ἀρετῆς, κατ' ἔλλειψιν τοῦ Ἕνεκα. Ἤ προθετοπτώτως· οἷον· Ἐφ' οἷς, ἀνθ' ὧν ἐπλημμέλησας, κολασθήσῃ. Εἰς ἀρετὴν, διὰ σοφίαν ἐπαινεῖται. Διὰ τὰ χρήματα πάντα γίνονται. Λοιδοροῦμαι σοὶ εἰς δυσγένειαν. Ἀντὶ ποίας ἀρετῆς στεφανώσετε τοῦτον; Ἔδωκα δίκην ὑπὲρ τῶν ἁμαρτημάτων. Παρὰ τὸ ἀδικεῖν ἡ τιμωρία. Ἐκ τοῦ ὁρᾷν τὸ ἐρᾷν. Χωλὸς ἀπὸ τραύματος. Ἐξ ἁμαρτιῶν πάσχω ταῦτα. Κατὰ πενίαν οὐ λαλεῖ μετὰ παῤῥησίας. Δέδοικα περὶ σοί. Περὶ βλασφημίας λιθάζεται. Ἢ διὰ μετοχῆς· οἷον· Φονεύσας ἀπῆλθε τὴν εἰς θάνατον. Καὶ κατ' ἀνάλυσιν· οἷον· Ἐπειδὴ, διότι ἐφόνευσεν ἀπήχθη.

Τὸ δὲ Ὑλικὸν γενικῇ προθετοπτώτως μετὰ τῆς Ἐκ· οἷον· εἶδον ἀνδριάντα ἐκ χαλκοῦ πεποιημένον· Καὶ ἐλλειπτικῶς· Στεφανίσκοις ὑακίνθων. Καὶ δι' ὀνόματος μετουσιαστικοῦ· οἷον· Χρυσοῦν, ἀργυροῦν, χαλκοῦν, ὀστράκινον, πήλινον. Καὶ μετὰ τῆς Διά· οἷον· Ἔμπλαστρον διὰ φοινίκων καὶ ῥόδων. Καὶ μετουσιαστικῶς καὶ μεταδοτικῶς κατ' ἔλλειψιν τῆς Ἀπό· οἷον· Μεταδίδωμί σοι χρημάτων. Κοινωνῆσαι τῶν θρόνων, τῶν ἀποῤῥήτων.

Τὸ δὲ Ὀργανικὸν δοτικῇ· οἷον· Βάλλω σε μήλοις. Καὶ μετοχῇ· οἷον· Ἀκοντίζων, τοξεύων. Καὶ ἐπιῤῥηματικῶς· Ὀδὰξ, λὰξ, πὺξ. Καὶ ἐλλειπτικῶς τῆς Διά· οἷον· Ὠνοῦμαι χρημάτων. Καὶ προθετοπτώτως μετὰ τῆς Σὺν, καὶ Ἐν· οἷον· Ἐν πέλταις καὶ ἀκοντίοις· καὶ ἔτι μετὰ τῆς Μετὰ, Ἀπὸ, Ὑπὸ, καὶ ἄλλων· οἷον· Μετὰ μαχαιρῶν καὶ ξύλων. Ἡ ἀπὸ ξίφους μάχη. Τοῖς πολλοῖς τὰ τῶν ὀλίγων ὑπὸ ψηφισμάτων διανέμων.

ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

Τὸ δὲ Παραδειγματικὸν προθετοπτώτως· οἷον· Ἄδει πρὸς αὐλόν. Καθ' Ὅμηρον γράφει. Καὶ ἐπιῤῥηματικῶς· οἷον· Ὡς πένης· Ὡς ἀπαῤῥησίαστος· Ἧ περ ὑπεδείχθη σοι. Καθὸ εἶδες. Βοτρυδὸν, ἀγεληδὸν, σκυλακηδόν· Δίκην λαγῶ. Ὁμοίως τοῖς ἄλλοις.

Τὸ δὲ Εἰδικὸν ἀεὶ ἐπιβατικῶς· οἷον· Λέγω ταῦτα. Δοκῶ λέγειν. Καὶ διὰ μετοχῆς· οἷον· Οἶδα ποιήσας. Οἶδά σε ποιήσαντα. Καὶ κατ' ἀνάλυσιν· οἷον· Εἶπον ὅτι πέμψειεν. Ἀνήγγελλον, εἰ μηκέτι δεήσει.

Τὸ δὲ Τελικὸν προθετοπτώτως· οἷον· Ἐπ' ἀγαθῷ ἐδημηγόρει. Πρὸς δόξαν ταῦτ' ἐποίει. Ὑπὲρ δόξης θνήσκει. Δι' ἡμᾶς, εἰς τὴν ἡμετέραν σωτηρίαν, ὑπὲρ ἡμῶν ἐσταυρώθη ὁ Σωτήρ. Ἐφ' ᾧ τὴν ἁμαρτίαν ἐξαλεῖψαι. Καὶ πρὸς ἀπαρέμφατον. οἷον· Διδάσκω σε γραμματικὰ διαλέγεσθαι. Καὶ πρὸς μετοχήν· οἷον· Ἥκω ἐρῶν. Πέμπω σε ἀγγελλοῦντα. Καὶ κατ' ἀνάλυσιν· οἷον· Διδάσκω σε ἵνα διαλέγῃ. Πέμπω σε ἵνα ἀγγείλῃς.

Ποῦ. Τὸ δὲ Ποῦ, εἴτ' οὖν ὁ τόπος, τίθεται ἐν τῷ λόγῳ. Ἤτοι Ἐλλειπτικῶς· οἷον. Οἱ δὲ Ἀθηναῖοι, ἀντανήγοντο εἰς τὸ πέλαγος τῷ εὐωνύμῳ· ἤτοι, Ἐν τῷ εὐωνύμῳ. Οὕτω καὶ δεξιᾷ· Ἀντὶ Ἐν δεξιᾷ χειρί. Ἢ προθετοπτώτως· οἷον. Ἐν τῷ τόπῳ τοῦ ᾅδου. Εἰς τὸν οἶκον τοῦ διδασκάλου. Ἐξ εὐωνύμων. Ἐκ δεξιῶν. Ἐξ Ἀθηνῶν. Κατ' ὄψιν, κατὰ γῆς, καθ' ὁδὸν, κατὰ νώτου. Διὰ ξηρᾶς καὶ διὰ θαλάσσης· διὰ τῆς ἀγορᾶς. Πρὸ ὀφθαλμῶν, πρὸ τῶν θυρῶν. Πρὸς βοῤῥᾶν, πρὸς τῇ πηγῇ, πρὸς τοῖς ποσίν. Μετὰ χεῖρας. Παρὰ τὴν θάλασσαν, παρὰ πόδας, παρὰ τὴν ὁδόν. Ἀνὰ τὴν ὁδόν. Ἀπὸ τοῦ βουλευτηρίου, ἀπὸ σκοποῦ, ἀπ' Ἀνατολῶν. Ὑφ' εἵματος. ὑπὸ καλύβῃ. Περὶ τὴν πόλιν. Ἐπ' οἴκου, ἐπὶ γῆς, ἐπὶ τὴν Ἀττικήν. Ὑπὲρ τὴν Θράκην, ὑπὲρ τὰ ἐσκαμμένα. Καὶ ἐν συνθέσει· οἷον. Ἀποδημῶ, ἀναποδίζει, προποδίζει, προϊέναι, παλινδρομῶ, ἀνατρέχω, μετόρχιον, μεταίχμιον, μεθόριον, μετάφρενον. Ἢ ἐπιῤῥηματικῶς· οἷον. Ὧδε,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ. Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἐκεῖ, αὐτοῦ, ἄνω, κάτω, ἔνθεν μὲν, ἔνθεν δὲ, πλαγίως, ὀπισθορανῶς, ἐγκαρσίως, κατωμαδὸν, Ἐχόμενα τούτων. Πόθεν; Ἰλίοθεν. Ποῦ; Ἀθήνησι. Ποῖ; Θήβαζε. Μέχρι, ἕως. Ἢ ὁμοιοπτώτως τῷ ἐκ πρώτου καὶ τῷ ἐκ τρίτου ὀνοματικῶς τε καὶ Μετοχικῶς. Εἶδόν σε κατιόντα, ἀνιόντα, κείμενον, ὑπτιάζοντα, πρηνῆ. Διελέγετο καθήμενος, πλανώμενος, πεζεύων, ἀνακεκλιμένος, ἐῤῥιμμένος, μετάρσιος, μετέωρος, αἴθριος, πελάγιος, οὐράνιος, χερσαῖος, πεζὸς, ἔνυδρος, ἐναέριος, κατεστηριγμένος, ἀπλανὴς, πλάνης, ἑῷος ἑσπέριος, δυτικὸς, νότιος, ἀρκτῷος, ἀπηλιώτης, τετραμμένος, οὐραγὸς, ἔσχατος.

Πότε. Τὸ δὲ Πότε, ὁ Χρόνος δηλονότι· ἤτοι ἐλλειπτικῶς ἥκει εἰς χρῆσιν, τῆς Διὰ ἢ Ἐπὶ· οἷον. Ἡμέρας καὶ νυκτὸς· ἢ τῆς Ἐν· οἷον· ταύτῃ τῇ ἡμέρᾳ, τῇ ἐπιούσῃ· ἢ τῆς Κατὰ· οἷον. ταύτην τὴν νύκτα. Ἢ προθετοπτώτως· οἷον. Ἐπὶ ἄρχοντος Πυθαγόρου. Ἐπὶ διετὲς ἥβᾳ, ἐπὶ τρεῖς γενεὰς παρέτεινεν, ἐφ᾽ ἡμῶν τε καὶ τῶν προγόνων, ἐπὶ τούτοις εἰς ἕτερα διηγεῖτο. Πρὸ τοῦ πολέμου. Ἐκ δείπνου, ἐξ οὗ, ἐξ ὅτου, ἐξ ἀρχῆς, ἐκ τοῦ θανεῖν, ἐκ τοῦ πολέμου, ἐκ διαδοχῆς, ἐκ νέου, ἐκ παλαιῶν ἐτῶν, ἐκ πρώτης ἀφετηρίας, ἐξ ἀπαλῶν ὀνύχων, ἐξ ἀμνημονεύτων αἰώνων. Ἀπ᾽ αἰῶνος, ἀφ᾽ οὗ, ἀπὸ δείπνου, ἀπὸ λουτροῦ, ἀπὸ κατακλυσμοῦ καὶ τῆς πυργοποιΐας. Διὰ τέλους, διὰ παντὸς, διὰ βίου, δι᾽ ἔτους. Καθ᾽ ἑκάστην, καθ᾽ ἡμᾶς ἐγένετο, καθ᾽ ἣν ὥραν δειπνεῖ, Παρ᾽ ἡμέραν· παρὰ τὸ δεῖπνον· Περὶ, ἀμφὶ τεσσαράκοντα ἡμέρας· Ὑπὲρ τὰ ἐννενήκοντα. Μεθ᾽ ἡμέρας, μετὰ θάνατον, μετὰ δεῖπνον, μετὰ λουτρὸν, μετ᾽ ἄριστον, μετὰ τὸ ἰδεῖν. Εἰς τριάκοντα ἔτη, ἐς νέωτα, ἐς τέλος, εἰς τοὺς αἰῶνας, εἰς τὴν ἐπιοῦσαν, ἐς αὔριον, ἐς τρίτην ἡμέραν, ἐς αὖθις. Ἐν τοῖς ἔπειτα χρόνοις, ἐν τῷ ἐπικαλεῖσθαι, ἐν τῷ δείπνῳ, ἐν τῷ δειπνεῖν, ἐν τῷ μεταξὺ, ἐν ἑσπέρᾳ καὶ νυκτὶ καὶ μεσημβρίᾳ, καὶ ἐν παντὶ καιρῷ· καὶ τλ. Ἢ ἐπιῤῥηματικῶς· οἷον. Ὅτε, τηνικάδε, ὡς εἶδε, πολλάκις, νῦν, τέως, ἕως, ἄχρι, μέχρι· νύκτωρ, ὁ πρὶν τυφλὸς, ἤδη βλέπει· ἄρτι παραγέγονεν· ἐπὰν ἔλθῃ· ἐπειδὴ γένοιτο

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2005

πρὸς τοῖς ὁρίοις· ἐσθ' ὅτε· τοτὲ μὲν, τοτὲ δὲ· εἶτα, αὖθις· σήμερον, αὔριον, χθὲς, πρώην, πάλαι, αὐθημερὸν ἀωρὶ, αἴφνης, αἰωνίως· καὶ τλ. Ἢ ὁμοιοπτώτως τῷ ἐκ πρώτου, καὶ τῷ ἐκ τρίτου· οἷον. Ἑτερήμερος, παρήμερος, καθημερινὸς, ἐφήμερος, τριήμερος, πανημέριος, τριταῖος, τεταρταῖος, δωδεκαταῖος, χρόνιος, ταχὺς, πρότερος, ὕστερος, ἔσχατος, νεώτερος, πρεσβύτερος· Ἐννεάσας τῇ κατὰ φιλοσοφίαν σχολῇ. Ἐμπρόθεσμος. Ἤδη τὴν ἡλικίαν πρόσηβος ὤν. Εἰς γῆρας βαθὺ ἐληλακώς. Προσευχόμενοι, μὴ βαττολογήσητε. Ἐν τῷ προσεύχεσθαι, ὅτε, ἐν ᾧ, καθ' ἣν ὥραν προσεύχεσθε. Καὶ πλαγιοπτώτως. Ἦρος φανέντος. Περιπατοῦντός μου. Τοῦ καθηγητοῦ διδάσκοντος, καθ' ἑκάστην φοιτῶσιν οἱ ἀκροαταὶ· οἱ μὲν, καθ' ἡμέραν· οἱ δὲ, παρ' ἡμέραν· ἄλλοι καθ' ἑβδομάδα· εἰσὶ δὲ οἳ καὶ θαμίζοντες, οὐ φοιτῶσι. Μεταξὺ δειπνῶν ἐφιλοσόφει. Γηράσας, παλίμπαις ἐγένετο. Ἀριστήσας εἰς ὕπνον ἐτράπη. Ὁρᾷς αὐτοὺς ἐγκαταγηράσαντας τοῖς λεκτικοῖς τεχνυδρίοις, πολυετεῖς τὰς μελέτας ποιουμένους. Μετάλουτρον, ἀπόλουτρον δός μοι ποτόν. Ἑωλοκρασίαν αὐτοῦ κατέχεα. Τεταρταῖον ὀδωδότα τὸν Λάζαρον ἀνέστησε· καὶ τλ.

Πῶς. Τὸ δέ τοι Πῶς, φημὶ δὴ ὁ Τρόπος, διαφόρως ἐν τῷ λόγῳ τίθεται. Ἤτοι γὰρ κατὰ Δοτικὴν ἐλλειπτικῶς μὲν· οἷον. Τούτῳ τῷ τρόπῳ· εὐφυΐᾳ τε καὶ ἐπιμελείᾳ ἐπιδόσεις· ἤτοι Ἐν. περιποιητικῶς δὲ· οἷον. Ζῶ τῷ Θεῷ· Ὡς ἀρέσκει δηλαδὴ τῷ Θεῷ. Διδάσκω σοὶ τὸν παῖδα· ὡς σὺ βούλει δηλαδή. Σοὶ χαριζόμενος· ἤτοι σὴν χάριν· ἢ κατὰ Αἰτιατικὴν· οἷον. Ὃν τρόπον ἔμαθε, τοῦτον καὶ πράττων ἐβίωσεν· ἤτοι Κατά. καὶ τλ. Ἢ προθετοπτώτως· οἷον. Ἐν δόξῃ, ἐν εὐμενείᾳ, ἐν τάχει, ἐπὶ σχολῆς. Πρὸς χάριν, πρὸς εἱρμόν. Εἰς τὸ παντελὲς, εἰς τάχος. Ὑπὸ φωτὶ παρέπεμψε Περικλῆς τὸν δι' ὅλης ἡμέρας αὐτὸν λοιδωρήσαντα. Μετ' εὐκλείας, μετ' ὀργῆς, μετὰ δακρύων, μετ' αἰσχύνης. Κατὰ χάριν, κατ' εὐχὴν, καθ' ἡλικίαν. Ἐκ



ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΕΡΓΑ ΤΗΣ Κ. ... ΙΩΑΝΝΙΝΑ 2006

παντὸς τρόπου, ἐξ ἀπόρων, ἐκ μηχανῆς, ἐκ πολλοῦ τοῦ περιόντος, ἐκ περισσοῦ, ἐκ παρασκευῆς, ἐκ τοῦ προφανοῦς, ἐξ ἀφανοῦς, ἐκ τοῦ παραχρῆμα, ἐκ καρδίας, οὐκ ἐκ δικαίου, καὶ τλ. Ἤ ἐπιῤῥηματικῶς· οἷον. Ἀσμένως· εὖ· δικαίως· αἰσχρῶς· προθύμως· κυνηδὸν· ἀχωρίςως· πολυτρόπως· φιλομαθῶς· περιέργως· περιττῶς· ἀπαραιτήτως· σχολῆ· καὶ τλ. Ἤ μετοχικῶς καὶ ἐπιθετικῶς ἐκ τρίτου· οἷον. Ἑκόντα, ἐθελοντὴν, αὐθόρμητον αὐτὸν ἤγαγε· ἢ ἐκ πρώτου· οἷον. Σὺ μὲν ἄκων, ἀκούσιος· ἐγὼ δὲ ἑκὼν, ἑκούσιος. Οὗτος μὲν πονήσας, ἐξέμαθε τὴν Ἑλλάδα φωνὴν· σὺ δὲ μὴ μοχθήσας, πῶς ἂν γένοιο ταύτης ἐπίδολος; Μὴ χωρισθεὶς τῶν ἄνω, συνανεστράφη ἀνθρώποις. Λαθὼν ἐκεῖνος τὰς φυλακὰς, ἐξῆλθε. Δακρυῤῥοῶν, ἀσπαζόμενος, ἄσμενος, σύννους, σκυθρωπάζων, ἐστεμμένος, μελανείμων, σκιρτῶν, ἀγαλλόμενος, εὔθυμος, μειδιῶν, νουθετῶν, παραινῶν, ἀπειλῶν, τοῖς πᾶσι τὰ πάντα γενόμενος, διῆλθε τὸν βίον· καὶ τὰ τοιαῦτα.

Οὕτως οὖν ποικιλαχῶς ἐκφερομένων τῶν Περιστάσεων, ποικιλαχῶς ἔχομεν καὶ τὰς δι' αὐτῶν ἐκφερομένας ἐννοίας ἐκφράζειν κατὰ τὸ δοκοῦν· ἤτοι παραφράζοντες τὰ τῶν ἄλλων, ἢ καὶ ἰδίως τὶ ἐλευθέρως ἐκτιθέμενοι, τὴν δουλικὴν ἀφέντες παράφρασιν, καὶ ἴδια νοήματα καθ' Ἕλληνας ἐκφράζοντες.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006